UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

## Isidorus <Pelusiota>

## Parisiis, 1585

Isidoro Diacono. 204.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

κρινόμενοι δὲ, ὑπὸ τοῦ κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν· περὶ δὲ τῶν ἀνίατα πταισάντων, κἀνταῦθα μὲν δεδωκότων δίκην, κἀκεῖ δὲ δωσόντων, αὐτὸς ὁ κριτὴς ἔφη, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρας, ὡς κἀνταῦθα μὲν δεδωκότων, κἀκεῖ δὲ δωσόντων μὲν, ἡμερωτέραν δέ. περὶ δὲ τῶν ἀπαραμύθητον καὶ ἄκρατον ὑπομενόντων τὴν κόλασιν, φησὶν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρων ἢ τῇ πόλει ἐκείνῃ, τῇ τοὺς θείους κήρυκας δηλονότι ἀπελασάσῃ. τοὺς γὰρ ἐνταῦθα δίκην δεδωκότας τοῖς μὴ δεδωκόσι παραβαλὼν, καὶ ἡμερωτέραν φήσας αὐτοὺς δώσειν, ἀσύγγνωστον καὶ ἀργαλεωτάτην ἀπέφηνε τῶν ἐνταῦθα μὴ δεδωκότων δίκην τὴν τιμωρίαν.

de iis, qui ea peccata admittunt, quibus afferri medicina poteſt, ab Apoſtolo dictũ eſt, Cũ iudicamur autẽ à Domino corripimur, vt nõ cum hoc mundo damnemur: De iis autem, qui inſanabilibus peccatis ſeſe deuinxerunt, atque hîc quidẽ pœnas perpenderunt, illícque rurſum pendent, iudex ipſemet dixit, Tolerabilius erit terrę Sodomorũ & Gomorrhæ, vt qui hîc quoque pœnas dederint, & illic quoque daturi ſint, cæterùm leuiores. De iis denique, qui acerbiſſimum atque ab omni ſolatio remotum cruciatum ſufferunt, hæc verba habuit, Tolerabilius erit terræ Sodomorũ & Gomorrheorum, quàm ciuitati illi, quę videlicet diuinos præcones ſubmouerat. Nam cùm eos, qui pœnam in hac vita luerunt, cum iis, qui minimè luerunt, cõparauit, ac mitiorem eos daturos eſſe dixit, hinc nimirum eorum, in quos hîc minimè animaduerſum fuerit, acerbiſſimum ac veniæ omnis expertem cruciatum fore pronunciauit.

Ἰσιδώρῳ διακόνῳ. σδ.

*Iſidoro Diacono.* 204.

Χρὴ τοὺς τὴν ἀνθρωπίνην εὐγένειαν φυλάξαι προῃρημένους, τὴν τῆς φύσεως ἐπισκεπτομένους ὀξύρροπον μεταβολὴν, καὶ τῆς χαρᾶς τὴν ἀμετρίαν κολάζειν, καὶ μήτε λύπῃ σφοδρᾷ ἑαυτοὺς ἐκδιδόναι, μήτε χαρᾷ. ἡ μὲν γὰρ εἰ μὴ κερασθείη λογισμῷ, καὶ χαλινωθείη φρονήσει, εἰς θάνατον παιδαγωγεῖ. ἡ δὲ, εἰ μὴ παραδοθείη ταῖς ἡνίαις τῆς προσδοκωμένης μεταβολῆς ἐκτραχηλίσει, καὶ τοῦ πρέποντος ἐκπεσεῖν παρασκευάσει.

Qui humanam nobilitatem tueri atque conſeruare inſtituunt, celerẽ naturæ mutationem animo voluentes, immodicam, tum mœſtitiam, tum lętitiam coërcere debent, ac ne nimio mœrori, nec gaudio ſeſe dedere. Nam ille, niſi ratione temperetur, ac prudentiæ fræno cõprimatur, in mortẽ erudit: hoc contrà, niſi impendentis mutationis habenis tradatur, præcipites nos aget, atque, vt ab officio ac decore excidamus, efficiet.

Νείλῳ γραμματικῷ. σε.

*Nilo Grammatico.* 205.

Ἐν τοῖς πολέμοις ἐπειδὰν ὀλίγοι κομιδῇ ὑπὲρ τῆς πατρίδος μαχόμενοι πρὸς πολλοὺς ἀπαντήσωμεν, νικᾶν μὲν αὐτοὺς οἱ νοῦν ἔχοντες οὐκ ἀξιοῦσιν. ἀδόξως δὲ εἰ μὴ πέσοιεν θαυμάζουσιν. εἰ δὲ δὴ καὶ πλείω τοῦ εἰκότος τοὺς ἐναντίους διαφθείρειαν κακῶς, τοῖς ἥρωσιν ἐν ἴσῳ

In re militari, cùm pauci admodum pro patriæ defenſione multis ad pugnam occurrunt, non hoc, qui mente præditi ſunt, petunt, vt ipſi vincant, verùm, ſi non cum dedecore atque infamia occumbant, admiratione afficiuntur: quòd ſi etiam pluribus, quàm fieri poſſe videretur, incom-